www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΕΝΔΟΞΟΝ ΜΑΡΤΥΡΑ
# ΣΟΦΙΑΝ
# & ΤΑΣ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΑΣ ΘΥΓΑΤΕΡΑΣ ΑΥΤΗΣ
# ΠΙΣΤΙΝ, ΕΛΠΙΔΑ & ΑΓΑΠΗΝ

(ὧν ἡ μνήμη τῇ 17ῃ Σεπτεμβρίου)



Συντεθεὶς ἐν ῾Αγίῳ ῎Ορει τοῦ ῎Αθωνος

* 2002 *

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΕΝΔΟΞΟΝ ΜΑΡΤΥΡΑ ΣΟΦΙΑΝ & ΤΑΣ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΑΣ ΘΥΓΑΤΕΡΑΣ ΑΥΤΗΣ ΠΙΣΤΙΝ, ΕΛΠΙΔΑ & ΑΓΑΠΗΝ

* * *

*Μετὰ τὸ Εὐλογητός, ἀναγινώσκομεν τὸν ψαλμὸν ΡΚΒ΄ (142).*

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε· πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Εὐθὺς δέ, Θεὸς Κύριος...καὶ τὸ τροπάριον*
*Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Μήτηρ Μαρτύρων ἀνεδείχθης Σοφία,
Πίστιν, Ἐλπίδα καὶ Ἀγάπην τεκοῦσα,
μεθ᾽ ὧν συνεμαρτύρησας βασάνοις ἀλγεινοῖς·
ὅθεν ἱκετεύσατε, ἐκτενῶς τῷ Δεσπότῃ,
δοῦναι ἡμῖν ἄφεσιν, τῶν ποικίλων σφαλμάτων,
καὶ ἀπελάσῃ τῶν ἀσθενειῶν,
μακρὰν τὰς θλίψεις,
ὡς μόνος Φιλάνθρωπος.

*Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων,
τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους;
οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**καὶ ψάλλεται ὁ Κανών, οὗ ἡ ἀκροστιχίς:**

*"Σοφίαν, πίστιν ἐξαιτῶ, ἐλπίδα τε ἀγάπην. Ἀ(θανάσιος)".*

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*

Σοφίας στερούμενος θεϊκῆς,
ὦ μάρτυς Σοφία,
σὺν τοῖς τέκνοις σου τοῖς τρισίν,
Τριάδα πρεσβεύσατε δοθῆναι,
κἀμοὶ σταγόνα σοφίας καὶ χάριτος.

Ὁ πόθος Κυρίου τὴν σὴν ψυχήν,
κατέφλεξε μάρτυς
καὶ ἀνέδειξε  θαυμαστῶς,
παρθένων μαρτύρων σε μητέρα,
μεθ᾽ ὧν Δεσπότην ἀεὶ ἱκετεύσατε.

Φοβούμενος μάρτυς τὸν πτερνιστήν,
σοῦ δέομαι τοῦτον,
κατανίκησον σαῖς εὐχαῖς,
ὡς πάλαι σὺν κόραις σου παρθένοις,
αὐτὸν ἀνδρείως Σοφία ἐνίκησας.

*Θεοτοκίον*

Ἱμείρομαι Μῆτερ τῆς ἀρετῆς,
ἀλλὰ καθ᾽ ἑκάστην,
ἁμαρτάνω ὡς ἀσεβής,
διὸ δυσωπῶ βοήθησόν μοι,
καὶ τοῦ ὀλίσθου ψυχήν μου συγκράτησον.
*Ὠιδὴ γ΄. Οὐρανίας ἀψῖδος.*

Ἁπαλῶν ἐξ ὀνύχων,
τὸν Ἰησοῦν ἔνδοξε,
ἔμαθες τιμᾶν ὑπὲρ πάντα,
Πίστις πανάριστε,
διὸ τὸ αἷμά σου,
δοῦσα δυσώπησον τοῦτον,

ὅπως δῷ τοῖς μέλπουσι,
πίστιν ἀκράδαντον.

Νεαρὰ κόρη μάρτυς,
ἀθλητικῶς ἔδραμες,
κατὰ τοῦ ἐχθροῦ ἐν ἐλπίδι,
᾿Ελπὶς καὶ εἴληφας,
στέφος τὸ ἄφθαρτον,
ὅθεν τοῖς πόθῳ αἰτοῦσι,
τὴν ἐλπίδα χάρισαι,
βίου ἐφόδιον.

Παρθενίᾳ τὸ αἷμα,
διὰ Χριστὸν ἔμιξας,
ὦ θεοκαλλίστη ᾿Αγάπη,
καὶ ἔσω γέγονας,
᾿Εδὲμ πρεσβεύουσα,
ἱκετικῶς ὑπὲρ πάντων,
τῶν τιμώντων μνήμην σου,
τὴν ἀξιάγαστον.

*Θεοτοκίον*

῾Ιερώτατον σκῆνος,
Λόγου Θεοῦ πέφυκας,
Μῆτερ ᾿Αειπάρθενε Κόρη,
Παντοβασίλισσα,
῞Ον ἐκδυσώπησον,
παραπτωμάτων μου πλῆθος,
παραβλέψαι Δέσποινα,
ἐν ὥρᾳ κρίσεως.

Διάσωσον,
τετρὰς Σοφία Πίστις ᾿Ελπὶς ᾿Αγάπη,
τοὺς ἐκ πίστει εἰλικρινοῦς καὶ πόθῳ ὑμῖν προστρέχοντας,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

λυτρούμεναι εὐχαῖς σεπταῖς,
πειρασμῶν καὶ κινδύνων.

Ἐπίβλεψον,
ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,
καὶ ἴασαι,
τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Δεσμοὺς τοὺς φθαρτοὺς ἐλύσατε μακάριαι,
καὶ σὺν τῷ Χριστῷ ἑστῶσαι νῦν εὐφραίνεσθε,
χορηγοῦσαι πᾶσι τοῖς μέλπουσι,
γνῶσιν σοφίας θεϊκῆς,
ἀγάπην, πίστιν ἐλπίδα τε.

*Ὠιδὴ δ΄. Εἰσακήκοα, Κύριε.*

Συμμαχήσασαι Ἅγιαι,
τῷ ἐνδυναμοῦντι Χριστῷ ὑπέστητε,
τῶν βασάνων τὰ ἀλγήματα,
ὅθεν καὶ ἡμᾶς Χριστῷ συνάψατε.

Τετρωμένη τῷ ἔρωτι,
τοῦ ἐπουρανίου Νυμφίου ἤνεγκας,
ὦ Σοφία θλῖψιν ἄμετρον, διὸ καὶ ἡμῖν θλίψεσι πάρεσο.
Ἱερὸν ὁλοκαύτωμα,
γέγονας Κυρίου ὦ Πίστις ἔνδοξε,
ὅθεν θύειν καταξίωσον,
καὶ ἡμᾶς Χριστῷ ἅπαν ἐννόημα.

*Θεοτοκίον*

Νέους δεῖξον Πανάμωμε,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῇ ἀνακαινώσει Ἁγίου Πνεύματος,
ὅσοι πόθῳ τὰς πρεσβείας σου,
ἐξαιτοῦνται εἰ καὶ ἁμαρτάνομεν.

*Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἔχουσα Ἐλπίς,
τὴν ἐλπίδα πρὸς τὸν Κύριον,
καθυπέμεινας βασάνους καρτερῶς,
ὅθεν ἐλπίδα, δὸς τοῖς πόθῳ σε δοξάζουσι.

Ξύλοις καὶ γλυπτοῖς,
ὦ Ἀγάπη μὴ λατρεύσασα,
ἐμαστίχθης δι᾽ ἀγάπην τοῦ Χριστοῦ,
καὶ παρέχεις, ταύτην πᾶσι τοῖς αἰτοῦσί σε.

Ἄνω τὴν ψυχήν,
ὦ Σοφία ἀνεβίβασας,
ἔνθα εὕρηται ὁ θεῖος θησαυρός,
ὃν εὑρέσθαι, καὶ ἡμᾶς Χριστὸν ἱκέτευε.

*Θεοτοκίον*

Ἴασις ψυχῶν,
ἡ ἐπίκλησίς σου γίνεται,
Παναμώμητε ἐν θλίψεσι πικραῖς,
καὶ εἰρήνην, τοῖς πιστοῖς εὐθὺς χαρίζεται.

*Ὠιδὴ ς΄. Τὴν δέησιν ἐκχεῶ.*

Ταράττομαι,
τοῦ ἐχθροῦ προσβάλλοντος,
τὴν ἀθλίαν μου ψυχὴν θεία Πίστις,
καὶ ἀθυμῶν, σὴν πρεσβείαν αἰτοῦμαι,
ὅπως μοι δῷς τὴν τῆς πίστεως ἄγκυραν,

ἵνα καιρῷ τῶν πειρασμῶν,
τῷ λιμένι Κυρίου σωθήσωμαι.

Ὡράϊσας,
τὸ παρθένον σῶμά σου,
ὦ Ἐλπὶς ξεσμοῖς ὀξέων ὀργάνων,
ἀλλὰ ἐγώ, τὸν ναὸν σώματός μου,
ταῖς ἁμαρτίαις δεινῶς κατημαύρωσα,
διό σοι κράζω ἐκ ψυχῆς,
ταῖς εὐχαῖς σου τὸν ῥύπον μου κάθαρον.

Ἐνάρκησα,
ὦ Ἀγάπη πάντιμε,
καὶ πλουτῶ τὴν ἀλγεινὴν ἀκηδίαν,
ὅθεν βοῶ, τῆς ἀγάπης Κυρίου,
τὸ πῦρ ὑπάναψον θείαις πρεσβείαις σου,
καὶ κόψον ἅπαντα δεσμόν,
τὸν κρατοῦντα μακρὰν τοῦ Δεσπότου μου.

*Θεοτοκίον*

Λελύπηκα,
καὶ λυπῶ Πανάχραντε,
Ἰησοῦν τὸν δι᾽ ἐμὲ σταυρωθέντα,
καὶ προσπαθῶν, ἐκφυγεῖν τὰς παγίδας,
τοῦ πονηροῦ πάλιν ταύταις ἐμπλέκομαι,
διὸ πρεσβείαις δραστικαῖς,
λύτρωσαί με τὸν ἄθλιον δοῦλόν σου.
Διάσωσον, τετρὰς Σοφία Πίστις Ἐλπὶς Ἀγάπη,
τοὺς ἐκ πίστει εἰλικρινοῦς καὶ πόθῳ ὑμῖν προστρέχοντας,
λυτρούμεναι εὐχαῖς σεπταῖς, πειρασμῶν καὶ κινδύνων.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,
ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

www.tezaurliturgic.ro



*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν χριστιανῶν.*

Ὑπὲρ πάντα Χριστὸν προτιμήσασαι,
τὸ ἡδὺ φθειρομένων ἠρνήσασθε,
καὶ λαβοῦσαι,
ἐπὶ τοῖς ὤμοις μαρτυρίου τὸν σταυρόν,
σοφῶς εὕρατε Χριστοῦ,
σύμφρονες οὖσαι ἐν παντί,
Βασιλείαν ἀσάλευτον·
ὅθεν σεμνὴ Σοφία,
Πίστις, Ἐλπίς, Ἀγάπη,
τοὺς αἰτουμένους τὴν ὑμῶν,
ἱκεσίαν στηρίξατε.

Προκείμενον. Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις.
Στίχος. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι.*

**Εὐαγγέλιον.**
*Ἐκ τοῦ κατὰ Ματθαῖον*

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην. Ὡμοιώθη ἡ Βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν ἐξῆλθον εἰς ἀπάντησιν τοῦ Νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ πέντε μωραί. Αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν οὐκ ἔλαβον μεθ᾿ ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· ἰδοὺ ὁ Νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον·



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ Νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ᾽ αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι· Κύριε Κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

*Δόξα.*
Ταῖς τῶν ἀθληφόρων, πρεσβείαις ᾽Ελεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*
Ταῖς τῆς Θεοτόκου, πρεσβείαις ᾽Ελεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Στίχ. ᾽Ελεῆμον, ἐλέησόν με ὁ Θεός...*
*καὶ τὸ προσόμοιον*
*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*

Γάλακτι τῆς πίστεως,
καὶ εὐσεβείας τὰς κόρας,
Σοφία ἐκθρέψασα,
ταύταις ἐγκατέσπειρας θεῖον ἔρωτα·
ὅθεν ὡς ἀσώματοι, πλῆθος τῶν βασάνων,
καθυπέμειναν αἱ πάναγνοι, τὰ ἄνω βλέπουσαι,
ἔνθα Πάντες Ἅγιοι ἵστανται.
Διὸ καὶ ὁ Φιλάνθρωπος,
χάριν ὑμῖν δέδωκεν ἄφθονον·
ἀσθενεῖς ἰᾶσθαι, διώκειν δαιμονίων τὸν ἐσμόν,
καὶ εἰρηνεύειν ἀείποτε, τοὺς ὑμᾶς γεραίροντας.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου κλπ.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ὠιδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Πολυτίμητον προῖκα,
θυγατράσι Σοφία Χριστὸν παρέδωκας,
δι᾽ ὃ καὶ εἰσελθοῦσαι,
εἰς πάναγνον παστάδα,
οὐρανοῦ ἱκετεύουσιν,
ὑπὲρ τῶν πόθῳ πολλῷ,
τιμώντων τούτων μνήμην.

Ἱερώτατον πέπλον,
παρθενίας φοροῦσα Ἐλπὶς ἀμόλυντε,
ὥσπερ εἰς ἄλλους γάμους,
προσῆλθες μαρτυρίῳ,
καὶ Κυρίῳ συνήρμοσαι,
Ὃν ἱκετεύειν ἀεί,
ὑπὲρ ἡμῶν μὴ παύσῃ.

Δωδεκάθεον πλάνην,
τοῖς σοῖς χρόνοις ἰσάριθμον ἀπελέγξασα,
ὦ Πίστις ἀθληφόρε,
ἀλήθειαν Κυρίου,
τρανολάλως ἐκήρυξας,
ἐν ᾗ ἐμμένειν ἡμᾶς,
ἀξίωσον εὐχαῖς σου.

*Θεοτοκίον*

Ἅγνισόν μου τὰ χείλη,
Παναμώμητε Μῆτερ ὅπως δοξάζω σου,
τὴν δόξαν ἥν περ ἔχεις,
τεκοῦσα τὸν Σωτῆρα,
καὶ Δεσπότην τῆς κτίσεως,
Ὃν μητρικαῖς σου εὐχαῖς,

ὑπὲρ ἐμοῦ δυσώπει.

*ᾨδὴ η'. Τὸν Βασιλέα.*

Τριάδα Παίδων,
ἐν Βαβυλῶνι Ἀγάπη,
τῆς καμίνου διέσωσεν Δεσπότης,
Ὃν καὶ σὺ ῥυσθεῖσα,
ὑπὲρ ἡμῶν δυσώπει.

Ἐλπίδα δίδου,
Ἐλπὶς παρθένε καὶ μάρτυς,
πνιγομένοις τοῖς κύμασι τοῦ βίου,
δι᾽ ἧς δυνηθῶμεν,
εὑρεῖν τὴν σωτηρίαν.

Ἁγνὰς παρθένους,
τὰς θυγατέρας διδοῦσα,
ὦ Σοφία θυσίαν τῷ Κυρίῳ,
πάντοτε εὐλόγει,
ψυχὰς τὰς φιλοάγνους.

*Θεοτοκίον*

Γέγονα Μῆτερ,
τῆς ἁμαρτίας δοχεῖον,
καὶ μηδόλως μετανοῶ ὁ τάλας·
ὅθεν δάκρυά μοι,
παράσχου σωτηρίας.

*ᾨδὴ θ'. Κυρίως Θεοτόκον.*

Ἀγάπην τὴν ἁγίαν,
χάρισαι σοῖς δούλοις,
μάρτυς Ἀγάπη καὶ πάντοτε δίωκε,

πατέρα μίσους ἐκ πάντων,
τῶν γεραιρόντων σε.

Πίστεως ἀκλονήτου,
ἔμπλησον ὦ Πίστις,
τοὺς ἀνυμνοῦντας τοὺς θείους ἀγῶνάς σου,
ὅπως Κυρίου τὸ θεῖον,
ἴδωμεν πρόσωπον.

Ἣν ἔσχηκας ἐλπίδα,
ἐν τοῖς μαρτυρίοις,
Ἐλπὶς παράσχου πιστοῖς τοῖς τιμῶσί σε,
ἐν ἀσθενείαις καὶ πόνοις,
τούτους δροσίζουσα.

Νῦν ἔχουσα Σοφία,
ὅπερ ἐπεπόθεις,
σὺν ταῖς τρισὶν Θυγατράσι σου πρέσβευε,
ὅπως σωθῶμεν οἱ πόθῳ,
ὑμᾶς γεραίροντες.

*Θεοτοκίον*

Ἀνάνηψιν παράσχου,
ἐκ πολλῶν πταισμάτων,
Ὑπεραγία Χριστὸν ἱκετεύουσα,
ὑπὲρ τῶν ὅσοι αἰτοῦνται,
τὴν μεσιτείαν σου.

*Ἄξιόν ἐστι... καὶ τὰ*
*Μεγαλυνάρια*

Μήτηρ ἐπὶ τέκνοις δαβιτικῶς,
ὤφθης τερπομένη, ὦ Σοφία πανευκλεής,
σὺ γὰρ τῇ Τριάδι, τὰς τρεῖς σου θυγατέρας,

ὥσπερ γυνὴ ἀνδρεία, ἄθλοις προσήγαγες.

Ἔχουσα ἐλπίδα τῶν ἀγαθῶν,
ἅπερ ὑπισχνεῖται, ὁ Δεσπότης πᾶσι πιστοῖς,
ἠλόγησας πάντων, Ἐλπὶς ἀμνὰς Κυρίου,
καὶ εἴληφας τὸ στέφος, μαρτύρων ἄφθαρτον.

Ἔρωτι τρωθεῖσα τοῦ Ἰησοῦ,
νοητοῦ Νυμφίου, ὦ Ἀγάπη ἐλαφικῶς,
σκάμματα βασάνων, γενναίως διεξῆλθες,
τὸ φῶς ἐπιποθοῦσα, τὸ χριστοέραστον.

Πίστει κολληθεῖσα λόγοις Χριστοῦ,
Πίστις ὡς παρόντα, ἔσχες μέλλοντα σῇ ψυχῇ,
ὅθεν ἀλγηδόνας, παρεῖδες μαρτυρίων,
καὶ εὗρες τὸν νυμφῶνα, τὸν παγκαλλέστατον.
Μήτηρ τε καὶ Κόραι ὁμοῦ Χριστόν,
εὐχαῖς ἱλεοῦσθε, ὑπὲρ πάντων τῶν εὐσεβῶς,
ὑμᾶς γεραιρόντων, καὶ πόθῳ ἐκζητούντων,
ἐν θλίψεσι ποικίλαις, στήριξιν ἄνωθεν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον κλπ.*

*Εἰς τὴν ἀπόλυσιν. Στιχηρὸν προσόμοιον.*
*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.*

Ὦ θεομακάριστε τετράς, μῆτερ χριστοφόρε Σοφία, σὺν θυγατράσι τρισί, πάντων ἐπακούετε εὐχὰς πιστῶν πρὸς ὑμᾶς, καὶ ταχέως προστρέχετε, διώκουσαι νόσους, ψυχὰς εἰρηνεύουσαι, καὶ

www.tezaurliturgic.ro


συναρμόζουσαι, τοὺς ἐπιποθοῦντας Κυρίῳ, δι᾽ Ὃν ὑπὲρ φύσιν βασάνους, ὥσπερ ἀδαμάντινοι ὑπέστητε.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Δι᾽ εὐχῶν.

*Στίχοι*

*Σοφίαν Θεοῦ Ἀγάπην τε καὶ Πίστιν*
*Σὺν Ἐλπίδι, Ἅγιαι, τοῖς πιστοῖς δότε.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ